XIII. Θηρῶσι δὲ Ἰνδοὶ τὰ 1
μὲν ἄλλα ἄγρια θηρία, κα-
τάπερ καὶ Ἕλληνες· ἡ δὲ τῶν
ἐλεφάντων σφὶν θήρα οὐδέν τι
ἄλλῃ ἔοικεν· ὅτι καὶ ταῦτα
τὰ θηρία οὐδαμοῖσιν ἄλλοισι
θηρίοις ἐπέοικεν. Ἀλλὰ τό- 2
πον γὰρ ἐπιλεξάμενοι ἄπεδον,
καὶ καυματώδεα, ἐν κύκλῳ
τάφρον ὀρύσσουσιν, ὅσον με-
γάλῳ ϛρατοπέδῳ ἐπαυλίσα-
σθαι. Τῆς δὲ τάφρου τὸ εὖ-
ρος ἐς πέντε ὀργυίας ποιέον-
ται, βάθος τε ἐς τέσσαρας.
Τὸν δὲ χοῦν ὅντινα ἐκβάλλου- 3
σιν ἐκ τοῦ ὀρύγματος, ἐπὶ τὰ
χείλεα ἑκάτερα τῆς τάφρου
ἐπιφορήσαντες, ἀντὶ τείχεος
διαχρέονται· αὐτοὶ δὲ ἐπὶ τῷ 4
χώματι τοῦ ἐπιχειλέος τοῦ
ἔξω τῆς τάφρου, σκηνάς σφιν
ὀρυκτὰς ποιέονται, καὶ διὰ
τουτέων ὀπὰς ὑπολείπονται·
δι' ὧν φῶς τε αὐτοῖς συνεισ-
έρχεται, καὶ τὰ θηρία προσ-
άγοντα καὶ ἐσελαύνοντα ἐς τὸ
ἕρκος σκέπτονται. Ἐνταῦθα 5

XIII. Venantur autem Indi reliquas feras ut Graeci: at elephantorum apud eos venatio nihil prorſus alîi venandi modo ſimilis eſt, ſiquidem et hae ferae nullis aliis ſimiles ſunt. Deligunt venatores locum planum et apricum, magni exercitus capacem, in ejus circuitu foſſam ducunt. Foſſae latitudo ad quinque orgyias habet, altitudo circiter quatuor. Terram, quam fodiendo eruunt, utrinque ad labra foſſae congerunt, eaque pro muro utuntur. Ipſi autem in exterioris labri aggere tentoria ſibi foſſilia faciunt, et foramina in iis, per quae lucem admittant, relinquunt: ipſique ex iis feras appropinquantes atque in ſeptum ingredientes proſpectant. Tunc tres aut quatuor ele-

NOTAE CRITICAE AD CAP. XIII.

4. ἐπὶ τοῦ χείλεος, τοῦ ἔξω] Primum τοῦ, Optimo et MSS. omnibus atque primis editis exigentibus abjeci. Ex Optimo quoque atque alio Cod. et iisdem editis emendavi ἐσελαύνοντα pro ἐπελαύνοντα.